www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΜΑΡΤΥΡΑΣ
# ΤΟΥΣ ΕΝ ΚΑΡΘΑΓΕΝΗι ΜΑΡΤΥΡΗΣΑΝΤΑΣ

(ὧν ἡ μνήμη τῇ 10η Ἀπριλίου)

Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵βιε΄ * 2015 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro




# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΥΣ ΕΝ ΚΑΡΘΑΓΕΝΗι ΑΓΙΟΥΣ ΜΑΡΤΥΡΑΣ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

www.tezaurliturgic.ro


*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Τῇ τοῦ Κυρίου πυρωθέντες ἀγάπῃ,
τὴν τῆς στρατείας ἀπηρνήσασθε τάξιν,
μὴ θῦσαι προσδεξάμενοι εἰδώλοις τοῖς κωφοῖς,
ὅθεν ὑπηνέγκατε μαρτυρίων βασάνους,
καὶ ἐστεφανώθητε διαδήματι θείῳ,
οἱ Τεσσαράκοντα γενναῖοι ἀθληταί,
οὓς τῷ Δεσπότῃ, μεσίτας προβάλλομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανὼν, οὗ ἡ ἀκροστιχίς:**

*«Αἴτησις ἱκέσιος Μάρτυσι Καρθαγένης. Ἀ(θανάσιος)».*

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.

Ἀγάπῃ φλεχθέντες τοῦ Ἰησοῦ, εἰδώλων τὴν πλάνην, κατεπτύσατε εὐθαρσῶς, καὶ στέφος ἀθλήσεως λαβόντες, ὑπὲρ ἡμῶν ἱκετεύσατε Μάρτυρες.

Ἰδόντες τοῦ βίου τὸ ἀσταθές, συμφώνως τῇ πίστει, συνηνώθητε τοῦ Χριστοῦ, Ὃν πάντοτε Μάρτυρες αἰτεῖσθε, δοῦναι ἡμῶν αἰτημάτων τὴν πλήρωσιν.

Τὰς φάλαγγας Μάρτυρες τοῦ ἐχθροῦ, δυνάμει Κυρίου, διελύσατε παντελῶς, διὸ καὶ ἡμῖν δότε τὴν νίκην, πρὸς τὰς αὐτοῦ μεθοδείας παλαίουσι.

Θεοτοκίον

Ἠνέωξας πύλας τοῦ οὐρανοῦ, τῇ θείᾳ σου Γέννᾳ, Παναμώμητε Μαριάμ, καὶ πάντων πιστῶν μεσῖτις οὖσα, τοὺς σὲ γεραίροντας ὕμνοις μνημόνευε.

Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Στόματί τε καρδίᾳ, τὸν Ἰησοῦν ἅπαντες, ὄντα τῶν ἀνθρώπων Σωτῆρα, ὡμολογήσατε, οἱ Τεσσαράκοντα, Ὃν δυσωπεῖτε ἀπαύστως, τῶν πταισμάτων ἄφεσιν, ἡμῖν χαρίσασθαι.
Ἵνα ζήσητε ὄντως, μετὰ Χριστοῦ Μάρτυρες, τὴν κάτω στρατείαν ἀφέντες, ἐθυσιάσθητε, διὸ ὡς ἔχοντες, τὴν πρὸς Αὐτὸν παῤῥησίαν, αἰτουμένων φάνητε, πρέσβεις ἀκοίμητοι.

Σωτηρία οὐκ ἔστιν, ἐκ τῆς ψευδοῦς πίστεως, ἀλλ' ἐκ σαρκωθέντος Δεσπότου, Ὃν οὐκ ἀρνούμεθα, Μάρτυρες ἔφητε, καὶ ὁμαδὸν ξιφοτμήσει, στέφος ἀπειλήφατε, ἡμῖν πρεσβεύοντες.

Θεοτοκίον

Ἱερώτατον στίφος, στρατιωτῶν Ἄχραντε, τὸν ἐκ σοῦ τεχθέντα γενναίως, ὁμολογήσαντες, Θεὸν καὶ ἄνθρωπον, νῦν Παραδείσου τρυφῶντες, θεῖα καταφύγια, πιστῶν γεγόνασι.

www.tezaurliturgic.ro



Διάσωσον, πληθὺς Μαρτύρων τοὺς σὲ τιμῶντας, ἐκ παντοίων κινδύνων καὶ περιστάσεων, καὶ φάνηθι ἐν πειρασμοῖς, ἀδιάῤῥηκτον τεῖχος καὶ σωτηρία.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Στρατείαν φθαρτήν, προθύμως κατελίπετε, καὶ ὅπλα Χριστοῦ, λαβόντες ἐνισχύθητε, πρὸς ἀγῶνας Ἅγιοι, ἐναντίον τοῦ πολεμήτορος, ὃν κατησχύνατε λαμπρῶς, τῷ ξίφει τμηθέντες ὥσπερ πρόβατα.

Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.

Κληρονόμοι γεγόνατε, τῆς ἐπουρανίου πατρίδος Ἅγιοι, ἧς ἡμᾶς καταξιώσατε, τοὺς ὑμῶν τιμῶντας θείαν ἄθλησιν.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ τε, φάνητε προστάται Ἅγιοι Μάρτυρες, τῶν αἰτούντων τὴν βοήθειαν, καὶ τὰς προσευχὰς ὑμῶν πρὸς Κύριον.

Σάλον παύσατε Μάρτυρες, πειρασμῶν ποικίλων ἐπεγειρόμενον, καὶ εἰρήνην ἀκατάσειστον, τοῦ Χριστοῦ ψυχαῖς ἡμῶν δωρήσασθε.

Θεοτοκίον

Ἰατρὸν ἡ κυήσασα, πάσης ἀσθενείας Θεομακάριστε, τὰ νοσήματα θεράπευσον, τῆς ψυχῆς καὶ σώματος τῶν δούλων σου.

Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Ὅταν τοῦ ἐχθροῦ, ἡ μανία ἐπανίσταται, καὶ κινδυνεύωμεν οἱ τάλανες σφοδρῶς, τότε ταχέως, βοηθεῖτε ἡμῖν Μάρτυρες.

Σύμμαχοι πιστοί, κατ' ἐχθροῦ ἡμῖν γενήθητε, τῆς Καρχηδόνος οἱ γενναῖοι ἀθληταί, καὶ τούτου θράσος, ὥσπερ νέφος διαλύσατε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μνήμης Ἰησοῦ, ἐργαστήρια ποιήσατε, τὰς τῶν τιμώντων ὑμᾶς Μάρτυρες ψυχάς, καὶ τὴν ἀγάπην, πρὸς Αὐτὸν ἀεὶ ἀνάπτετε.

Θεοτοκίον

Ἅγνισον ἡμῶν, τὰς ἐννοίας Παμμακάριστε, τὴν ἀδιάλειπτον παρέχουσα εὐχήν, δι' ἧς ἑνοῦται, τῷ Δεσπότῃ πᾶς εὐχόμενος.

Ὠιδὴ ϛ'. Τὴν δέησιν.

Ῥυπώσαντες, τῆς ψυχῆς τὸ ἔνδυμα, ἐμακρύνθημεν Χριστοῦ παγκαθάρου, ὅθεν ὑμᾶς, Καρθαγένης τὸ κλέος, ὥσπερ μεσίτας Αὐτῷ προβαλλόμεθα, λευκάναι πάλαι τὴν στολήν, μετανοίας γνησίας τοῖς δάκρυσι.

Τιμήσαντες, Καρθαγένης Μάρτυρες, τὴν χριστώνυμον Βαπτίσματος κλῆσιν, τῶν ἱερῶν κεφαλῶν ὑμῶν τμήσει, ἀξιωθῆναι ἡμᾶς ἱκετεύσατε, συμφώνως τοῖς τοῦ Ἰησοῦ, πορευθῆναι ζωῆς παραγγέλμασιν.

Ὑπέρτερον, ἀγαθὸν πιστεύσαντες, τοῦ Σταυροῦ τὴν ἄρσιν εἶναι Κυρίου, πάντες ὁμοῦ, ἀθληταὶ Καρχηδόνος, τὰς ἡδονὰς ἐπικήρων ἐπτύσατε, διὸ ἐχθροὺς αὐτῶν ἡμᾶς, ἱεραῖς προσευχαῖς ἀναδείξατε.

Θεοτοκίον

Συνάγαγε, Παναγία Δέσποινα, τὰ σὰ τέκνα εἰς τὴν Πόλιν τὴν ἄνω, ἔνθα ὁμοῦ, σὺν χοροῖς τῶν Ἀγγέλων, καὶ τῶν Ἁγίων ἁπάντων τοῖς τάγμασιν, ὀψόμεθα τοῦ σοῦ Υἱοῦ, τὸ γλυκὺ καὶ παμπόθητον Πρόσωπον.

Διάσωσον, πληθὺς Μαρτύρων τοὺς σὲ τιμῶντας, ἐκ παντοίων κινδύνων καὶ περιστάσεων, καὶ φάνηθι ἐν πειρασμοῖς, ἀδιάῤῥηκτον τεῖχος καὶ σωτηρία.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Συμμαχία χριστωνύμων φιλόθεε, τῶν Μαρτύρων Καρχηδόνος ἡ πάντιμος, τὰς αἰτήσεις, τῶν δεομένων σου ἐπάκουσον καὶ δός, τὴν σὴν θείαν ἀρωγήν, ἐν τῷ ἀγῶνι πρὸς ἐχθρούς, τοὺς ἀπώλειαν θέλοντας, ψυχῶν τὴν αἰωνίαν, πάντων τῶν εὐσεβούντων, καὶ ἐλπιζόντων εἰς τὴν σήν, προστασίαν φιλάδελφον.

Προκείμενον. Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. *Πεφυτευμένοι ἐν οἴκῳ Κυρίου ἐν αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσι.*

## Εὐαγγέλιον.

*Ἐκ τοῦ κατὰ Λουκᾶν* (κα΄ 12-19).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ’ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Ἦχος β΄. Δόξα.

Ταῖς τῶν Ἀθλοφόρων, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*
Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Ὅλοι πυρπολούμενοι,
τῇ πρὸς Δεσπότην ἀγάπῃ,
ἡδονὴν ἠρνήσασθε πάντες τὴν ἐπίκηρον,
θεῖοι Μάρτυρες.
Καὶ ζωὴν τὴν μέλλουσαν,
πρὸ ὀμμάτων σχόντες,
οὐδαμῶς ἐδειλιάσατε,
βασανιζόμενοι, πάθεσι ποικίλοις ὡς ἄσαρκοι·
τμηθέντες δὲ τοῖς ξίφεσιν,
στέφος ἐκομίσασθε ἄφθαρτον.
Ὅθεν βοηθεῖτε,
ἡμῖν τοῖς αἰτουμένοις τὴν ὑμῶν,
ἐν πειρασμοῖς συμπαράστασιν,
ὡς φιλαδελφότατοι.

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἱερεῖα δειχθέντες, τοῦ Δεσπότου τῶν ὅλων Μάρτυρες ἔνδοξοι,
πολλὴν τὴν παῤῥησίαν, πλουτεῖτε ὅθεν πάντων, τὰς αἰτήσεις
πληρώσατε, τῶν ἀνυμνούντων πιστῶς, ὑμῶν σεπτοὺς ἀγῶνας.

Κοσμικὴν δυσπραγίαν, καὶ ἐπίπλαστον δόξαν σοφῶς ἐφύγετε,
ἐκλέξαντες τὰ κρείττω, καὶ μένοντα ἀσείστως, Καρχηδόνος καυχήματα,
διὸ κρειττόνων ἡμᾶς, δείξατε κληρονόμους.

Ἀκατάβλητον σχόντες, ἐν βασάνοις τὸ φρόνημα Τεσσαράκοντα,
τοὺς καταβεβλημένους, βιοτικαῖς μερίμναις, καὶ πεσόντας ὀρθώσατε,
ὅπως ὡς θέλει Θεός, ἑξῆς πολιτευθῶμεν.

Θεοτοκίον

Ῥητορεύουσα γλῶσσα, οὐ δυνήσεται Μῆτερ ἐκδιηγήσασθαι, ἣν ἔχεις πρὸς ἀνθρώπους, πολλὴν φιλοστοργίαν καὶ ἀγάπην ὑπέρμετρον, σκέπουσα πάντας πιστούς, ὑπὸ τὰς πτέρυγάς σου.

Ὠιδὴ η'. Τὸν βασιλέα.

Θανατωθέντες, ὑπὲρ Κυρίου ἀγάπης, θανατώσατε πάθη τῶν τιμώντων, μνήμην ζωηφόρον, ὑμῶν Μάρτυρες θεῖοι.

Ἀπορουμένους, ἐκ περιστάσεων βίου καὶ ἐκ νόσων ψυχῶν τε καὶ σωμάτων, ταλαιπωρουμένους, Ἅγιοι ἐκλυτροῦσθε.

Γνησίαν δότε, τὴν πρὸς Δεσπότην ἀγάπην, τοῖς θαυμάζουσι θείαν εὐανδρείαν, ὑμῶν στεφηφόροι, Μάρτυρες Καρχηδόνος.

Θεοτοκίον

Ἐν μετανοίᾳ, διαπεράσαι τοῦ βίου, τὸ ὑπόλοιπον δίδου Θεοτόκε, πτώσεων πταισμάτων, φυλάττουσα σοὺς δούλους.

Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.

Νῦν θρόνῳ τοῦ Δεσπότου, Μάρτυρες ἑστῶτες, ὑπὲρ ἡμῶν πολεμούντων πρεσβεύσατε, ὅπως ἐχθροῦ τὰς ἐνέδρας, πάσας ἐκφύγωμεν.

Ἡμῶν τὰς ἱκεσίας, πάσας τῷ Κυρίῳ, παρακαλοῦμεν προσφέρατε Μάρτυρες, καὶ τῶν ψυχῶν τὸ συμφέρον, ὁμοῦ αἰτήσασθε.

Σωμάτων καὶ ψυχῶν τε, Μάρτυρες τὰς νόσους, ταῖς ἱκεσίαις ταχέως ἰάσασθε, ὅπως ὑμῶν θείαν μνήμην, ἀεὶ γεραίρωμεν.

Θεοτοκίον

Ἀξίωσον Παρθένε, πάντας παραστῆναι, ἐκ δεξιῶν τοῦ Κριτοῦ τοὺς ὑμνοῦντάς σε, σὺν τῶν Ἁγίων ἁπάντων, τοῖς θείοις τάγμασιν.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξωτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

## Μεγαλυνάρια

Πλάνην καταπτύσαντες βδελυράν, τῇ ὁμολογίᾳ,
παρετάξασθε τοῦ Χριστοῦ, κατὰ τῶν ἀνόμων,
γενναῖοι ἀθλοφόροι, διὸ τῶν ἀϊδίων, γερῶν ἐτύχετε.

Τὸν ἐνανθρωπήσαντα Ἰησοῦ, μόνον Θεὸν γνόντες,
ἐκηρύξατε θαυμαστῶς, ἐν τῇ Καρχηδόνι,
καὶ τῶν εἰδώλων πλάνην, ἐλέγξαντες τῷ ξίφει,
ἐναπετμήθητε.

Χάριν ἡμῖν δότε ἐν πειρασμοῖς,
καὶ τὰς ἀσθενείας, ἐξιάσασθε τῶν πιστῶς,
μνήμην ὑμῶν θείαν, τελούντων ἀθλοφόροι,
καὶ Παραδείσου πάντας, καταξιώσατε.

Πᾶσαι τῶν ᾿Αγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*
*καὶ τὰ τροπάρια*

᾿Ελέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς.

www.tezaurliturgic.ro


Πάσης γὰρ ἀπολογίας ἀποροῦντες,
ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ
οἱ ἁμαρτωλοὶ προσφέρομεν·
ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν.
Μὴ ὀργισθῇς ἡμῖν σφόδρα,
μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·
ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος
καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.
Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου·
πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν,
εὐλογημένη Θεοτόκε.
Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν·
ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων.
Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.

Ὅτε ἐπεκράτει ἐν τῇ γῇ,
νέφος τὸ βαθὺ τῶν εἰδώλων, ὑμεῖς πανεύφημοι,
Μάρτυρες ἐφάνητε, τῆς ἀληθείας πυρσοί,
καὶ Χριστοῦ τὴν θεότητα, κηρύξαντες πόθῳ,
ξίφει ἀπετμήθητε, τὰς ἱερὰς κεφαλάς·
ὅθεν φιλαδέλφως τὰς χεῖρας, ὑπὲρ τῶν πιστῶς γεραιρόντων,
ὑμᾶς τῷ Δεσπότῃ ἀνυψώσατε.
Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε,
εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν,
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων,
καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν,
καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

Στίχοι

*Μάρτυρες Χριστοῦ, δέξασθε τὰς αἰτήσεις,*
*Πάντων τῶν πιστῶν καὶ ταύτας ἐκπληροῦτε.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ